# ΚΥΡΙΑΚΗ τῆς ΤΥΡΙΝΗΣ

## Ἀνάμνησις τῆς ἀπὸ τοῦ Παραδείσου τῆς τρυφῆς ἐκπτώσεως τῶν Πρωτοπλάστων

## Μνεία τῆς ἐξορίας τοῦ Ἀδὰμ




*Μωσαϊκὸ (ΙΒ΄ αἰ.), Capella Palatina, Παλέρμο Σικελίας.*

**Κοντάκιον.** Ἦχος πλ. β΄. Αὐτόμελον.

Τῆς σοφίας ὁδηγέ, φρονήσεως χορηγέ, τῶν ἀφρόνων παιδευτά, καὶ τῶν πτωχῶν ὑπερασπιστά, στήριξον, συνέτισον τὴν καρδίαν μου Δέσποτα, Σὺ δίδου μοι λόγον, ὁ τοῦ Πατρὸς Λόγος· ἰδοὺ γὰρ τὰ χείλη μου, οὐ κωλύσω ἐν τῷ κράζειν Σοι· Ἐλεῆμον, ἐλέησόν με τὸν παραπεσόντα.

**Στίχοι.**

Κόσμος γενάρχαις πικρὰ συνθρηνησάτω.
Βρώσει γλυκείᾳ συμπεσὼν πεπτωκόσι.

### Τῇ Κυριακῇ τῆς Τυρινῆς

*(Ρωμ. ιγ΄ 11-ιδ΄ 4· Ματθ. ϛ΄ 14-21)*

**Τὴν** ἀνάμνησιν τῆς τοῦ Ἀδὰμ ἐξορίας ἀπὸ τοῦ Παραδείσου τῆς τρυφῆς ἔταξαν ἐνταῦθα, τῇ παραμονῇ τῆς ἁγίας Τεσσαρακοστῆς, οἱ θειότατοι Πατέρες, δεικνύοντες, οὐχὶ διὰ λόγων ἁπλῶν, ἀλλ᾽ ἐξ αὐτῶν τῶν πραγμάτων, πόσον ὠφέλιμόν ἐστιν εἰς τὸν ἄνθρωπον τὸ τῆς νηστείας καλόν· καὶ ἐκ τοῦ ἐναντίου πόσον ἐπιβλαβὲς καὶ ὀλέθριον ἡ ἀκρασία, καὶ τῶν θείων ἐντολῶν ἡ παράβασις· καὶ ὅτι πρώτη ἐντολὴ τοῦ Θεοῦ πρὸς τοὺς ἀνθρώπους ἐστὶν ἡ τῆς νηστείας ἐντολή, ἣν λαβόντες οἱ Πρωτοπλάστοι, καὶ μὴ φυλάξαντες αὐτήν, οὐ μόνον θεοὶ οὐκ ἐγένοντο, ὡς ἐφαντάσθησαν, ἀλλ᾽ ἀπώλεσαν καὶ ἣν εἶχον μακαρίαν ζωὴν καὶ πεσόντες εἰς φθορὰν καὶ θάνατον, μετέδωκαν αὐτὰ ταῦτα καὶ μυρία ἄλλα κακά, ὅσα ἐκεῖθεν ἐπήγασαν, εἰς ὅλον τὸ ἀνθρώπινον γένος.

Ταῦτα πάντα τιθέασιν ὑπ᾽ ὄψιν ἡμῶν σήμερον οἱ θεοφόροι Πατέρες, ἵνα ἐνθυμούμενοι τὸ πόθεν ἐξεπέσαμεν καὶ τὶ ἐπάθομεν διὰ τὴν τῶν Πρωτοπλάστων ἀκρασίαν καὶ παρακοήν, σπουδάσωμεν ἐπανελθεῖν πάλιν εἰς τὴν ἀρχαίαν ἐκείνην μακαριότητα καὶ δόξαν διὰ νηστείας καὶ τῆς ὑπακοῆς εἰς πάντα τὰ θεῖα προστάγματα.